www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΜΑΤΘΑΙΟΥ

www.tezaurliturgic.ro



Ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Ματθαῖος.
Ψηφιδωτὸ Ἁγίων Ἀποστόλων Θεσσαλονίκης.

www.tezaurliturgic.ro

# ΤΗ ΙϚʹ ΝΟΕΜΒΡΙΟΥ
# ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΜΑΤΘΑΙΟΥ

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

*Μετὰ τὸν προιμιακὸν στιχολογοῦμεν τὸ* Μακάριος ἀνήρ. *Εἰς τὸ* Κύριε ἐκέκραξα *ἱστῶμεν στίχους ϛʹ καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια.*

*Ἦχος δʹ.* (Ὁ ἐξ ὑψίστου κληθείς).

Ὁ ἐμβατεύων καρδίας τῶν ἀνθρώπων,* ὅτε σου τὴν ἔνθεον* γνώμην, ἀπόστολε,* θείᾳ προγνώσει ἑώρακε* καὶ ἐκ τοῦ κόσμου* τῆς ἀδικίας σε ἐλυτρώσατο,* τότε σε παγκόσμιον* φῶς ἀπειργάσατο,* τῆς οἰκουμένης τὰ πέρατα* καταφωτίζειν* καὶ διαλάμπειν ἐγκελευσάμενος·* οὗ καὶ τὸ θεῖον Εὐαγγέλιον* ἠξιώθης σαφῶς ἀναγράψασθαι·* ὃν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ ἐκ τελώνου κληθεὶς εἰς μαθητείαν,* ὅτε σε ὁ ἄναρχος* Λόγος ἐφώνησεν,* ἀκολουθεῖν προτρεπόμενος* καὶ κοινωνίαν* τῆς βασιλείας ἐπαγγειλάμενος,* τότε, παμμακάριστε,* πάντων ἀφέμενος* καὶ ταραχώδους συγχύσεως* ἀναχωρήσας,* αὐτῷ συντόνως ἐπηκολούθησας·* καὶ νῦν, θεόπτα, ἐμφορούμενος* τῆς ἀφράστου αὐτοῦ θεωρίας τρανῶς,* καθικέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Προφητική τις σαφῶς ὀξυδερκία* πάλαι μέν σε ἅγιον* λίθον τεθέαται,* ἐπὶ τῆς γῆς κυλιόμενον* καὶ τῆς ἀπάτης* τὰς ἑλεπόλεις καταλεαίνοντα·* ὁ Λόγος δέ, πάνσοφε,* ὁ ἐνυπόστατος* φῶς σε τοῦ κόσμου καὶ κήρυκα* δικαιοσύνης*

www.tezaurliturgic.ro



καὶ ἀληθείας ἀποτετέλεκε,* λελαμπρυσμένον ταῖς λαμπρότησι* τοῦ τρισηλίου φωτός, πανσεβάσμιε·* ὃν ἱκέτευε σῶσαι* καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

*Ἕτερα στιχηρὰ προσόμοια.*
*Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης.*

*Ἦχος β΄.* (Ποίοις εὐφημιῶν).

Ποίοις οἱ εὐσεβεῖς ῥήμασιν* ἐπαινέσωμεν τὸν θεηγόρον,* τὸν τῆς εὐσεβείας θεμέλιον,* εὐαγγελιστήν τε τὸν πρώτιστον,* τὸν μυσταγωγὸν τῶν θεολόγων,* Ματθαῖον τὸν τὰς καινὰς πλάκας χαράξαντα,* καὶ νόμον τὸν ἐκ Σιὼν νομοθετήσαντα,* Χριστοῦ τὸν μύστην τὸν μέγαν,* τὸ φῶς τὸ φωτίσαν* πάντα κόσμον καὶ τὴν ἀχλὺν* δαιμόνων διώξαντα* θείᾳ δυνάμει τε καὶ χρηστότητι;

Ποίοις μελῳδικοῖς ῥήμασιν* ἐπαινέσωμέν σε, θεορρῆμον,* τὸν πυρὸς τὴν γλῶσσαν δεξάμενον* καὶ Χριστοῦ τὰ θεῖα μυστήρια* ἐγγράφως τῷ κόσμῳ παραδόντα,* τὴν γέννησιν ἐκ Παρθένου τὴν ἀπόρρητον,* τὸ βάπτισμα καὶ τοὺς λόγους καὶ τὰ θαύματα,* μυσταγωγίας τὴν δόσιν,* τὰ πάθη, τὴν ἔγερσιν* καὶ τὸ χάρισμα τοῦ λουτροῦ,* Τριάδος τὴν μύησιν;* ἣν ὑπὲρ πάντων ἡμῶν ἱκέτευε.

Ποίοις, ἀναβοᾷ, στέμμασιν,* ἡ Χριστοῦ, σὲ στέψω, Ἐκκλησία,* τὸν ἀπὸ τελώνου ὑπάρξαντα* στήριγμα ἐμὸν καὶ θεμέλιον* καὶ τῆς πίστεως πατέρα μέγαν,* τοῦ πρώτου τῶν ἀποστόλων χοροῦ μέτοχον* καὶ χάριτος καὶ δυνάμεως τοῦ Πνεύματος,* τὸν συστησάμενον πόνοις* ἐμὲ καὶ τοῖς λόγοις* καὶ τοῖς αἵμασι καὶ εὐχαῖς* συνέχοντα πάντοτε* Χριστοῦ μιμήσει τοῦ πανοικτίρμονος;

Δόξα. *Ἦχος δ΄.*

Καλοῦντι Χριστῷ* πρὸς μαθητείαν οὐράνιον* προθύμως ἠκολούθησας, θεόληπτε,* πᾶσαν σχολὴν φροντίδος

www.tezaurliturgic.ro



γηΐνης* ὑφ' ἓν παρωσάμενος·* ἐπαξίαν γὰρ τῆς ἄνω βασιλείας* γνώμην εὐπειθῶς ἀναλαβόμενος,* τῆς χαμαιζήλου πολιτείας* καὶ δόξης κενῆς ἀπέστης,* εὐαγγελιστὴς ἀπὸ τελώνου γενόμενος,* φῶς τε τῶν ἐν σκότει χρηματίσας* καὶ πεπλανημένων ὁδηγὸς πρὸς σωτηρίαν·* νῦν δὲ πρεσβευτὴς* παντὸς τοῦ κόσμου θερμότατος* καὶ τῶν σὲ γεραιρόντων, Ματθαῖε,* φύλαξ σωτήριος.

Καὶ νῦν. *Θεοτοκίον.*

Ὁ διὰ σὲ θεοπάτωρ* προφήτης Δαβὶδ* μελῳδικῶς περὶ σοῦ προανεφώνησε* τῷ μεγαλεῖά σοι ποιήσαντι·* Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.* Σὲ γὰρ μητέρα* πρόξενον ζωῆς ἀνέδειξεν* ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι* εὐδοκήσας Θεός,* ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα* φθαρεῖσαν τοῖς πάθεσι,* καὶ τὸ πλανηθὲν* ὀρειάλωτον εὑρὼν πρόβατον,* τοῖς ὤμοις ἀναλαβών,* τῷ Πατρὶ προσαγάγῃ* καὶ τῷ ἰδίῳ θελήματι* ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι* καὶ σώσῃ, Θεοτόκε, τὸν κόσμον* Χριστός, ὁ ἔχων* τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Εἴσοδος, τὸ* Φῶς ἱλαρόν, *τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.*

Α´

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα *(μ´ 1-11).*

Παρακαλεῖτε παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ, παρακαλέσατε αὐτήν· ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία· ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας· καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα

www.tezaurliturgic.ro



σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε. Φωνὴ λέγοντος· Βόησον· καὶ εἶπα· Τί βοήσω; πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα. Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἰπὸν ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ ὁ Θεὸς ὑμῶν. Ἰδοὺ Κύριος Κύριος μετὰ ἰσχύος ἔρχεται καὶ ὁ βραχίων μετὰ κυρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ. Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει.

## Β´

### Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα *(νβ´ 1-10).*

Τάδε λέγει Κύριος· Ἐξεγείρου ἐξεγείρου, Σιών, ἔνδυσαι τὴν ἰσχύν σου, Σιών, καὶ ἔνδυσαι τὴν δόξαν σου, Ἱερουσαλὴμ πόλις ἡ ἁγία· οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος. Ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι, κάθισον, Ἱερουσαλήμ· ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου, ἡ αἰχμάλωτος θυγάτηρ Σιών. Ὅτι τάδε λέγει Κύριος· δωρεὰν ἐπράθητε καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε. Οὕτως λέγει Κύριος· Εἰς Αἴγυπτον κατέβη ὁ λαός μου τὸ πρότερον παροικῆσαι ἐκεῖ, καὶ εἰς Ἀσσυρίαν βίᾳ ἤχθησαν· καὶ νῦν τί ἐστε ὧδε; Τάδε λέγει Κύριος· Ὅτι ἐλήφθη ὁ λαός μου δωρεάν, θαυμάζετε καὶ ὀλολύζετε. Τάδε λέγει Κύριος· δι' ὑμᾶς διαπαντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. Διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν· πάρειμι ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά, ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου λέγων Σιών· βασιλεύσει σου ὁ Θεός. Ὅτι φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ τῇ φωνῇ

www.tezaurliturgic.ro



ἅμα εὐφρανθήσονται· ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνίκα ἂν ἐλεήσῃ Κύριος τὴν Σιών. Ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα Ἱερουσαλήμ, ὅτι ἠλέησε Κύριος αὐτὴν καὶ ἐρρύσατο Ἱερουσαλήμ. Καὶ ἀποκαλύψει Κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ Θεοῦ ἡμῶν.

## Γ΄

### Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα *(ξα΄ 1-10).*

Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας· καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν. Καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξηρημωμένας πρότερον ἐξαναστήσουσι· καὶ καινιοῦσι πόλεις ἐρήμους ἐξηρημωμένας εἰς γενεάς. Καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοί. Ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ· ἰσχὺν ἐθνῶν κατέδεσθε καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. Οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἐγὼ γάρ εἰμι Κύριος ὁ ἀγαπῶν δικαιοσύνην καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. Καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν· πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα ηὐλογημένον ὑπὸ Θεοῦ καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.

www.tezaurliturgic.ro



*Εἰς τὴν λιτὴν στιχηρὰ ἰδιόμελα.*
*Ἦχος α΄.*

Ποταμοὶ θεογνωσίας* ἐκ τοῦ τιμίου σου στόματος* ἀνέβλυσαν, ἀπόστολε·* ἐξ ὧν ἡ Ἐκκλησία τοῦ Θεοῦ ἀρδευομένη* προσκυνεῖ ὀρθοδόξως Τριάδα ὁμοούσιον·* ἣν καὶ νῦν αἴτησαι,* εὐαγγελιστὰ Ματθαῖε, στηριχθῆναι* καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἦχος β΄.*

Καταλιπὼν τὰ ἐπὶ γῆς* ἠκολούθησας Χριστῷ·* καὶ σφραγισθεὶς τῷ ἐμφυσήματι* τοῦ Ἁγίου Πνεύματος* ἀπεστάλης ὑπ' αὐτοῦ* εἰς τὰ ἔθνη τὰ ἀπολωλότα* ἐπιστρέφειν τοὺς ἀνθρώπους* εἰς φῶς θεογνωσίας,* Ματθαῖε ἀπόστολε·* καὶ τελέσας τὸν ἀγῶνα τοῦ θείου σου πόθου* διὰ βασάνων πολυπλόκων* τὴν ψυχήν σου τῷ Θεῷ παρέδωκας.* Αὐτὸν ἱκέτευε, παμμακάριστε,* δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

*Ὁ αὐτός.*

Ζυγὸν λιπὼν ἀδικίας* καὶ χρυσὸν ἀπορρίψας πλεονεξίας,* ζυγῷ δικαιοσύνης προστρέχεις* καὶ μὴ κενούμενον πλοῦτον ἁρπάζεις,* ὡς ἐχέφρων ἔμπορος ἀνταλλαξάμενος* προσκαίρων τὰ μόνιμα* καὶ τῶν ἀπολλυμένων τὰ διαμένοντα·* τὸν γὰρ θεολαμπῆ* καὶ πολύτιμον μαργαρίτην κτησάμενος,* τὰ καίσαρος καίσαρι* τῶν κάτω συρομένων* ἐμφρόνως ἀπέλιπες·* καὶ τῷ παμβασιλεῖ εὐπειθῶς* ἀκολουθήσας Χριστῷ,* πᾶσαν τὴν κτίσιν ἐπλούτισας* εὐαγγελικαῖς θεηγορίαις, σοφέ.* Ἀλλ' αἴτησαι καὶ νῦν,* Ματθαῖε πανάριστε,* τοῖς σὲ τιμῶσι σωτηρίαν* καὶ μέγα ἔλεος.

*Ἦχος δ΄.*

Τὴν τοῦ θείου Πνεύματος* σαφῶς χάριν δεξάμενος* τῆς ἱερωτάτης χορείας τῶν ἀποστόλων* συναρίθμιος, Ματ-

www.tezaurliturgic.ro



θαῖε, γέγονας·* ὅθεν καὶ οὐρανόθεν* τὴν φερομένην ποτὲ πνοὴν βιαίαν* πυρίνῃ γλώσσῃ ἐμπνευσθεὶς* τὴν τῶν ἐθνῶν ἀκανθώδη ἔφλεξας ἀθεότητα.* Χριστὸν τὸν Θεόν,* θεοκήρυξ, ἱκέτευε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. *Ἦχος πλ. δ΄.*

Δεῦτε τῆς οὐρανίου μυσταγωγίας τὸν κήρυκα* καὶ ὑποφήτην τοῦ Εὐαγγελίου* ψαλμικαῖς ὑμνῳδίαις* Ματθαῖον εὐφημήσωμεν·* οὗτος γὰρ ποταμὸς ἀνεδείχθη* τοῦ νοητοῦ παραδείσου,* τὰς ψυχικὰς ἀρούρας* τοῖς οὐρανίοις ὄμβροις ἐπάρδων* καὶ καρποφόρους δεικνύων* Χριστῷ τῷ Θεῷ,* τῷ παρέχοντι πᾶσι* ταῖς πρεσβείαις αὐτοῦ* ἱλασμὸν καὶ φωτισμὸν καὶ μέγα ἔλεος.

Καὶ νῦν. *Θεοτοκίον.* (Τί ὑμᾶς καλέσωμεν).

Νύμφην καὶ Παρθένον ἐκήρυξαν* τῆς ἀξίας τοῦ Πατρὸς* καὶ τῆς θεότητος αὐτοῦ* οἱ Θεὸν ἀξιωθέντες* κατιδεῖν σωματικῶς* καὶ Λόγου* καὶ Θεοῦ, κόρη, γεννήτριαν* καὶ Πνεύματος* Ἁγίου οἰκητήριον·* ἐν σοὶ γὰρ πᾶν τῆς θεότητος* σωματικῶς κατεσκήνωσε* τὸ πλήρωμα* πληρεστάτῃ οὔσῃ χάριτος.

*Εἰς τὸν στίχον στιχηρὰ προσόμοια.*

*Ἦχος δ΄.* (Ὡς γενναῖον ἐν μάρτυσιν).

Τῇ τῶν λόγων σου σάλπιγγι* τοὺς ἀνθρώπους συνήθροισας* εἰς Θεοῦ ἐπίγνωσιν, παναοίδιμε,* καὶ τὰ τῆς πλάνης ἀθροίσματα* ἐκ γῆς ἀπεσόβησας* καὶ εἰς μίαν τοὺς πιστοὺς* τὴν ὁμόνοιαν ἴθυνας* καὶ πρεσβεύεις νῦν* ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι* τοὺς ἐν πίστει ἐκτελοῦντας* τὴν ἀεισέβαστον μνήμην σου.

*Στίχ.* Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ* καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. *(Ψαλμ. ιη΄ 5).*

www.tezaurliturgic.ro



Ὁ ἐν γλώσσῃ πυρίνῃ σε* καθοπλίσας τοῦ Πνεύματος* κραταιὸν ἀνέδειξε πολεμήτορα* κατὰ τῆς πλάνης, ἀπόστολε,* Χριστὸς ὁ Θεὸς ἡμῶν,* παρ' οὗ ἔλαβες λαμπρὰ* τὰ βραβεῖα τῆς χάριτος·* ὃν ἱκέτευε* ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι* τοὺς ἐν πίστει ἐκτελοῦντας* τὴν ἀεισέβαστον μνήμην σου.

*Στίχ.* Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ,* ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. *(Ψαλμ. ιη΄ 2).*

Εἰς τὰ βάθη τοῦ Πνεύματος* διακύψας, ἀπόστολε,* πλοῦτον τὸν ἀκένωτον κατενόησας·* καὶ ἐξ αὐτοῦ ἀρυσάμενος* τὴν χάριν τὴν ἄφθονον,* ἡμῖν εὐαγγελικῶς* πᾶσι ταύτην διένειμας·* καὶ πρεσβεύεις νῦν* ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι* τοὺς ἐν πίστει ἐκτελοῦντας* τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. *Ἦχος πλ. β΄.*

Ἐκ πυθμένος κακίας ἐσχάτης* πρὸς ἀκρότατον ὕψος ἀρετῆς* ὡς ἀετὸς ὑψιπέτης* παραδόξως ἀνέδραμες,* Ματθαῖε πανεύφημε·* τοῦ γὰρ καλύψαντος οὐρανοὺς ἀρετῇ* καὶ τῆς συνέσεως αὐτοῦ* πᾶσαν τὴν γῆν πληρώσαντος,* Χριστοῦ ἀκολουθήσας τοῖς ἴχνεσι,* μιμητὴς διάπυρος* ἐν πᾶσιν αὐτοῦ πεφανέρωσαι,* εὐαγγελιζόμενος εἰρήνην,* ζωὴν καὶ σωτηρίαν* τοῖς πειθαρχοῦσιν εὐσεβῶς* τοῖς θείοις προστάγμασιν·* ἐν οἷς ἡμᾶς καθοδήγησον,* εὐαρεστοῦντας τῷ κτίστῃ* καὶ σὲ μακαρίζοντας.

Καὶ νῦν. *Θεοτοκίον. Ὁ αὐτός.*

Θεοτόκε,* σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς.* Σὲ ἱκετεύομεν·* Πρέσβευε, Δέσποινα,* μετὰ τοῦ ἀποστόλου* καὶ πάντων τῶν ἁγίων* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



*Ἀπολυτίκιον. Ἦχος γ΄.*

Ἀπόστολε ἅγιε* καὶ εὐαγγελιστὰ Ματθαῖε,* πρέσβευε τῷ ἐλεήμονι Θεῷ,* ἵνα πταισμάτων ἄφεσιν* παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

*Ἕτερον.*

*Ποίημα Γερασίμου Μικραγιαννανίτου.*

*Ἦχος γ΄.* (Θείας πίστεως).

Θείας ἤκουσας* φωνῆς τοῦ Λόγου* καὶ τῆς πίστεως* τὸ φῶς ἐδέξω* καταλείψας τελωνείου τὸν σύνδεσμον·* ὅθεν Χριστοῦ τὴν ἀπόρρητον κένωσιν* εὐηγγελίσω, Ματθαῖε ἀπόστολε.* Καὶ νῦν πρέσβευε* δοθῆναι τοῖς σὲ γεραίρουσι* πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

Καὶ νῦν. *Θεοτοκίον. Ὁ αὐτός.*

Σὲ τὴν μεσιτεύσασαν* τὴν σωτηρίαν τοῦ γένους ἡμῶν* ἀνυμνοῦμεν, Θεοτόκε Παρθένε·* ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ* ὁ υἱός σου καὶ Θεὸς ἡμῶν* τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος* ἐλυτρώσατο ἡμᾶς* ἐκ φθορᾶς ὡς φιλάνθρωπος.



www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΟΡΘΡΩ

*Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.*

*Ἦχος α΄.* (Τὸν τάφον σου Σωτήρ).

Ὁ πρῶτος τοῦ Χριστοῦ* Εὐαγγέλιον γράψας* καὶ πᾶσαν δᾳδουχῶν* τὴν ὑφήλιον κτίσιν,* Ματθαῖος ὁ σοφώτατος* καὶ Χριστοῦ μύστης ἄριστος,* νῦν τιμώμενος* ταῖς ἱεραῖς μελῳδίαις* πᾶσιν ἄφεσιν* ἁμαρτιῶν ἐξαιτεῖται* τοῖς πόθῳ τιμῶσιν αὐτόν.

Δόξα, καὶ νῦν. *Θεοτοκίον. Ὅμοιον.*

Μητέρα σε Θεοῦ* ἐπιστάμεθα πάντες,* παρθένον ἀληθῶς* καὶ μετὰ τόκον φανεῖσαν,* οἱ πόθῳ καταφεύγοντες* πρὸς τὴν σὴν ἀγαθότητα·* σὲ γὰρ ἔχομεν* ἁμαρτωλοὶ προστασίαν·* σὲ κεκτήμεθα* ἐν πειρασμοῖς σωτηρίαν* τὴν μόνην πανάμωμον.

*Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.*
*Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης.*

*Ἦχος δ΄.* (Ταχὺ προκατάλαβε).

Ματθαῖε ἀπόστολε,* πιστῶς ὑμνοῦμέν σε* καὶ πόθῳ τιμῶμέν σε* ὡς ὑπηρέτην Χριστοῦ,* αὐτόπτην καὶ κήρυκα,* πρῶτόν τε συγγραφέα* τῶν ἐκείνου λογίων,* μέγιστόν τε φωστῆρα* Ἐκκλησίας καὶ στῦλον* καὶ μνήμην τὴν πανίερον* σοῦ νῦν γεραίρομεν.

Δόξα, καὶ νῦν. *Θεοτοκίον. Ὅμοιον.*

Ταχὺ δέξαι, Δέσποινα,* τὰς ἱκεσίας ἡμῶν* καὶ ταύτας προσάγαγε* τῷ σῷ υἱῷ καὶ Θεῷ,* Κυρία πανάχραντε·*

www.tezaurliturgic.ro



λῦσον τὰς περιστάσεις* τῶν εἰς σὲ προστρεχόντων,* σκέδασον τὰς ἐνέδρας* καὶ τὰ θράση, Παρθένε,* τῶν νῦν ἐφοπλιζομένων* κατὰ τῶν δούλων σου.

*Μετὰ τὸν πολυέλεον, κάθισμα.*
*Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης.*

*Ἦχος πλ. δ΄.* (Τὴν Σοφίαν καὶ Λόγον).

Οὓς ἐχάραξας λόγους οἱ εὐσεβεῖς* εὐσεβείας θεμέλιον ἀρραγῆ* καὶ ῥίζαν τῆς πίστεως* κεκτημένοι ὑμνοῦμέν σε·* τοὺς γὰρ θείους λόγους* Χριστοῦ καὶ τὰ θαύματα* καὶ τὰ θεῖα πάθη,* ταφὴν καὶ ἀνάστασιν* ἀπὸ σῆς ἀπαύστως* ἀκροώμενοι γλώσσης,* Ματθαῖε ἀπόστολε,* τὰς ψυχὰς φωτιζόμεθα* καὶ πιστῶς ἐκβοῶμέν σοι·* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. *Θεοτοκίον. Ὅμοιον.*

Ὁ τῶν ὅλων Δεσπότης καὶ ποιητὴς* ἐξ ἀχράντου σου μήτρας σάρκα λαβὼν* προστάτιν σε ἔδειξε* τῶν ἀνθρώπων, πανάμωμε·* διὰ τοῦτο πάντες* πρὸς σὲ καταφεύγομεν* ἱλασμὸν πταισμάτων* αἰτούμενοι, Δέσποινα,* καὶ αἰωνιζούσης* λυτρωθῆναι βασάνου* καὶ πάσης κολάσεως* τῆς ἐκεῖσε δεόμεθα,* ἵνα πίστει βοῶμέν σοι·* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τοῦ δοθῆναι πᾶσι, κόρη, ἄφεσιν* τοῖς πιστῶς προσιοῦσι* τῇ σκέπῃ σου, ἄχραντε.

*Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου.*

*Προκείμενον. Ἦχος δ΄.*

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ* καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. *(Ψαλμ. ιη΄ 5).*

www.tezaurliturgic.ro



*Στίχ. α΄.* Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ,* ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. *(Ψαλμ. ιη΄ 2).*

*Στίχ. β΄.* Οὔκ εἰσι λαλιαὶ οὐδὲ λόγοι,* ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. *(Ψαλμ. ιη΄ 4).*

*Τὸ* Πᾶσα πνοὴ *καὶ τὸ*

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον ... *(θ΄ 36. ι΄ 1-8).*
Τῷ καιρῷ ἐκείνῳ ἰδὼν ὁ Ἰησοῦς τοὺς ὄχλους ...

*(Ζήτει τῇ Λ΄ Ἰουνίου).*

*Ὁ ν΄ ψαλμὸς καὶ μετ᾽ αὐτόν·*

Δόξα. Ταῖς τοῦ ἀποστόλου ...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου ...

*Στίχ.* Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου ...

*Καὶ τὸ ἰδιόμελον. Ἦχος πλ. β΄.*

Σοῦ ἐξεχύθη χάρις ἐν χείλεσι,* Ματθαῖε ἀπόστολε,* καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας,* διδάσκων τὰ λογικὰ πρόβατα* πιστεύειν εἰς Τριάδα ὁμοούσιον* ἐν μιᾷ θεότητι.

*Κανὼν τῆς Θεοτόκου*
*κατ᾽ ἐκλογὴν καταρτισθείς.*

*Ἦχος πλ. δ΄.*

*Ὠδὴ α΄. Ὁ εἱρμός.*

ᾎσμα ἀναμέλψωμεν, λαοί,* τῷ θαυμαστῷ Θεῷ ἡμῶν* τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ δουλείας,* ᾠδὴν ἐπινίκιον* ᾄδοντες καὶ βοῶντες·* ᾎσωμέν σοι τῷ μόνῳ δεσπότῃ. *(Δίς).*

www.tezaurliturgic.ro



*Τροπάρια.*

Ὕμνοις τὴν πανάχραντον, πιστοί,* Μαρίαν εὐφημήσωμεν,* τὴν Θεομήτορα, τὴν κεχαριτωμένην,* τὴν σκέπην τὴν ἔνθεον,* τὸν εὔδιον λιμένα,* τὴν τῶν πάντων πιστῶν σωτηρίαν.

Μόνη ἀπειρόγαμε σεμνὴ* Μαρία ἀειπάρθενε,* Θεοτόκε, κυρία, ἁγνή, ἐκλελεγμένη,* ἐξαίρετε Δέσποινα* πάντων τῶν ποιημάτων,* σὲ ἐλπίδα κεκτήμεθα πάντες.

Ὕλην καθαράν σε εὑρηκὼς* ὁ καθαρός, ἐσκήνωσεν* ἐν τῇ νηδύϊ σου, ἁγνὴ παρθενομῆτορ,* καὶ σὰρξ ἐχρημάτισε* δίχα τῆς ἁμαρτίας,* ἵνα πλάνης ἡμᾶς ἀπαλλάξῃ.

Χαίροις, ὁ πανάγιος ναός,* ὁ πόκος ὁ θεόδροσος,* ἐσφραγισμένη πηγὴ τοῦ ἀθανάτου ῥείθρου·* τὴν ποίμνην σου, Δέσποινα,* φύλαττε ἐκ παντοίων* πολεμίων ἀπολιορκήτως.

*Κανὼν τοῦ Εὐαγγελιστοῦ.*

*Ποίημα Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης.*

*Ἀκροστιχίς·* Εὐαγγελισ(τ)ῇ Ματθαίῳ ᾄδειν χρέος. Συμεών.

*Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.*

Ἔχων τὸν Υἱὸν τοῦ Θεοῦ,* τὸν καὶ υἱὸν γενόμενον* ἀνθρώπου ὕστερον, διδάσκαλον, Ματθαῖε,* τὸ φῶς τὸ ἀΐδιον,* οὗ τὴν χάριν ἐδέξω,* φώτισόν με ὑμνεῖν σε, θεόπτα.

Ὕψος μὴ λιπὼν τὸ θεϊκὸν* ἐπὶ τῆς γῆς ἐπέφανε* γεγονὼς ἄνθρωπος ὁ Λόγος τοῦ ὑψίστου,* Ματθαῖε, καὶ μάρτυρα* θεῖον τοῦ μυστηρίου* σὲ λαμβάνει καὶ κόσμῳ ἐκπέμπει.

Ἄνωθεν ἐδείχθης ἀπαρχὴ* τῶν σῳζομένων, ἔνδοξε,* κληθεὶς ἀπόστολος, μάκαρ, ἐκ τελωνίου* τῷ σῶσαι χρηστότητι* ἁμαρτωλοὺς ἐλθόντι·* οἱ πιστοί σε διὸ εὐφημοῦμεν.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Γένους ἐκ Δαβὶδ ὡς ἀληθῶς,* Ματθαῖος καθὼς ἔγραψεν,* οὖσα συνέλαβες ἐκ Πνεύματος ἁγίου* Δαβὶδ σὺ τὸν Κύριον·* τούτῳ ᾄδομεν φόβῳ* σαρκωθέντι καὶ σὲ ἀνυμνοῦμεν.

*Ἕτερος ἐκ τοῦ Μηναίου.*
*Ποίημα Θεοφάνους.*

*ᾨδὴ α΄. Ἦχος δ΄.* (Ἀνοίξω τὸ στόμα μου).

Πλουσίως μετάδος μοι* τῆς ἐνοικούσης σοι χάριτος,* Ματθαῖε πανένδοξε* καὶ ὑπηρέτα Χριστοῦ,* καὶ βοήσομαι* λαμπρῶς ἀνακηρύττων,* καὶ μέλψω γηθόμενος* τὰ σὰ θαυμάσια.

Τελείως κατέλιπες,* τῶν ἐπιγείων τὴν σύγχυσιν,* τοῦ Λόγου ὡς ἤκουσας* τοῦ σαρκωθέντος φωνῆς·* καὶ τῆς χάριτος* ἐδείχθης οἰκονόμος* καὶ κήρυξ θεόληπτος,* θεομακάριστε.

Αὐτόπτης γενόμενος* καὶ ὑπηρέτης διέπρεψας* τοῦ Λόγου, ἀπόστολε,* τοῦ πρὸ αἰώνων Πατρός·* καὶ διέδραμες,* αὐτοῦ τὴν παρουσίαν* εὐαγγελιζόμενος* πᾶσι τοῖς ἔθνεσιν.

*Θεοτοκίον.*

Θανάτου καθαίρεσιν* καὶ τῆς φθορᾶς τὴν κατάλυσιν,* ζωῆς τε φανέρωσιν* εὐηγγελίσω, σοφέ·* τῆς Παρθένου γὰρ* ἐν μήτρᾳ ἐνοικήσας* ὁ ἀπεριόριστος,* κόσμον ἀνέπλασεν.

*Καταβασία.*

Ἀνοίξω τὸ στόμα μου* καὶ πληρωθήσεται Πνεύματος,* καὶ λόγον ἐρεύξομαι* τῇ βασιλίδι Μητρί·* καὶ ὀφθήσομαι* φαιδρῶς πανηγυρίζων* καὶ ᾄσω γηθόμενος* ταύτης τὴν εἴσοδον.

www.tezaurliturgic.ro



*Ὠδὴ γ΄.*

*Τῆς Θεοτόκου. Ὁ εἱρμός.*

Ὁ οὐρανίας ἁψῖδος* ὀροφουργέ, Κύριε,* καὶ τῆς Ἐκκλησίας δομῆτορ,* σύ με στερέωσον* ἐν τῇ ἀγάπῃ τῇ σῇ,* τῶν ἐφετῶν ἡ ἀκρότης,* τῶν πιστῶν τὸ στήριγμα,* μόνε φιλάνθρωπε. *(Δίς).*

*Τροπάρια.*

Ἱερᾶς πολιτείας* ἀποπεσών, ἄχραντε,* παρασυνεβλήθην τοῖς κτήνεσι* καὶ κατάκριτος* ὅλος γεγένημαι·* ἡ τὸν κριτὴν τετοκυῖα,* πάσης κατακρίσεως* ῥῦσαι καὶ σῶσόν με.

Στεναγμοὺς ἀνενδότους* καὶ ψυχικὸν δάκρυον* καὶ διηνεκῆ μοι παράσχου,* κόρη, κατάνυξιν,* ὅπως πενθήσω μου* τὰ συμφυέντα μοι πάθη* ἐξ ἀπροσεξίας μου,* θεοχαρίτωτε.

Ἐπουράνιαι τάξεις,* λειτουργικὰ πνεύματα,* δῆμος προφητῶν, ἀποστόλων σου* καὶ μαρτύρων σου* σὺν τῇ τεκούσῃ σε* ἐκδυσωποῦσιν, οἰκτίρμον·* τῷ λαῷ σου δώρησαι* πταισμάτων ἄφεσιν.

Συμπαθείας με θείας* ὡς συμπαθής, ἄχραντε,* νῦν καταξιῶσαι δυσώπει* τὸν εὐσυμπάθητον·* τρόπους ἀσπλάγχνους γὰρ* ἀσυμπαθεῖς κεκτημένον* μετανοίας τρόποις με* νῦν ἀνακάλεσαι.

*Τοῦ ἁγίου. Εἱρμὸς ὁ αὐτός.*

Γῆς τὰ πάντα ὡς ὄναρ* καταλιπὼν ἔσπευσας* ἐξακολουθῆσαι καλοῦντι* τῷ αἰωνίῳ Θεῷ·* ὅθεν οὐράνιος* μύστης ἐγένου, Ματθαῖε,* καὶ γνῶσιν οὐράνιον* βροτοῖς ἐβράβευσας.

Ἐκομίσω ὡς μύστης* τὴν Ἰησοῦ δύναμιν* καὶ πλείσταις δυνάμεσι, μάκαρ,* λόγοις καὶ θαύμασι* κόσμον ἐζώγρη-

www.tezaurliturgic.ro



σας,* τῷ ἐναρέτῳ δὲ βίῳ* πρακτικῶς ὡδήγησας* πρὸς θείαν ὄντως ζωήν.

Λειτουργὸς ἀνεδείχθης* ὡς σεραφὶμ ἕτερος,* ὃν φρίττουσιν ἄγγελοι ἄνω* ὑπηρετήσας ἐν γῇ·* Χριστοῦ γὰρ γέγονας* μύστης, αὐτόπτης καὶ φίλος,* κήρυξ καὶ ἀπόστολος·* ὅθεν ὑμνοῦμέν σε.

*Θεοτοκίον.*

Ἰσραὴλ ὁ δουλείας* ἐξαγαγών, Δέσποινα,* πάλαι τῆς Αἰγύπτου, νεφέλῃ* ἐν σοὶ καθήμενος* φυγὰς τὴν Αἴγυπτον* πατεῖ, Ματθαῖος ὡς ἔφη,* μεθ' ἧς πάντας ἔσωσε* τοὺς σὲ δοξάζοντας.

*Ἄλλος.* (Τοὺς σοὺς ὑμνολόγους).

Τοὺς σοὺς ἀποστόλους, Θεοῦ Λόγε,* φωστῆρας ἀνέδειξας ζωῆς,* τὸν ζόφον ἀπελαύνοντας* τῆς ἀθεΐας, Δέσποτα,* καὶ ἐν τῇ θείᾳ δόξῃ σου* τὸν κόσμον ὅλον φωτίζοντας.

Τῇ σῇ καθοπλίσας παντευχίᾳ* Ματθαῖον τὸν ἄριστον, Σωτήρ,* τυράννων δυνατώτερον* τοῦτον εἰργάσω, Δέσποτα,* καὶ καθαιρέτην ἔδειξας* εἰδώλων πλάνης, φιλάνθρωπε.

Γλώσσης τῆς πυρίνης σου ὁ φθόγγος* δαιμόνων ἐνέπρησε βωμούς,* Ματθαῖε, τὸ θεότευκτον* τοῦ Παρακλήτου ὄργανον,* δι' οὗ Χριστὸς κηρύττεται* Λόγος ὁ ἐνυπόστατος.

*Θεοτοκίον.*

Σάλπιγξ θεολόγος φθεγγομένη* συντόνως ἐφώτισε λαούς,* Ματθαίου τοῦ θεόφρονος,* τὴν τῆς Τριάδος ἔλλαμψιν,* τὴν ὑπὲρ νοῦν τε σάρκωσιν* τοῦ Λόγου ἐκ σοῦ Πανάχραντε.

*Καταβασία.*

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε,* ὡς ζῶσα καὶ ἄφθονος πηγή,* θίασον συγκροτήσαντας* πνευματικόν, στερέωσον·* κἀν τῇ σεπτῇ εἰσόδῳ σου* στεφάνων δόξης ἀξίωσον.

www.tezaurliturgic.ro



*Κάθισμα. Ἦχος πλ. δ΄.* (Τὴν Σοφίαν καὶ Λόγον).

Τὸν χρυσὸν καταλείψας ὡς ἀληθῶς,* τὸν Χριστὸν δὲ ποθήσας φιλευσεβῶς,* Ματθαῖε ἀπόστολε,* τῶν περάτων ἐδείχθης φωστήρ·* καὶ ἐκ τελώνου ὤφθης* ἀπόστολος ἔνδοξος,* μαθητὴς γενόμενος* καὶ κήρυξ τῆς πίστεως.* Ὅθεν συνελθόντες* κατὰ χρέος τιμῶμεν* τὴν πάνσεπτον μνήμην σου* καὶ πιστῶς ἑορτάζομεν,* μελῳδοῦντες καὶ λέγοντες·* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. *Θεοτοκίον. Ὅμοιον.*

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν,* τὸ πανάγιον ὄρος, τὴν φωταυγῆ* νεφέλην ὑμνήσωμεν,* τὴν οὐράνιον κλίμακα,* τὸν λογικὸν παράδεισον,* τῆς Εὔας τὴν λύτρωσιν,* τῆς οἰκουμένης πάσης* τὸ μέγα κειμήλιον·* ὅτι σωτηρία* ἐν αὐτῇ διεπράχθη* τῷ κόσμῳ καὶ ἄφεσις* τῶν ἀρχαίων ἐγκλημάτων·* διὰ τοῦτο βοῶμεν αὐτῇ·* Πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς εὐσεβῶς προσκυνοῦσι* τὸν πανάγιον τόκον σου.

*Ὠδὴ δ΄.*

*Τῆς Θεοτόκου. Ὁ εἱρμός.*

Ἐπέβης ἐφ᾽ ἵππους,* τοὺς ἀποστόλους σου, Κύριε,* καὶ ἐδέξω χερσί σου ἡνίας αὐτῶν* καὶ σωτηρία γέγονεν ἡ ἱππασία σου* τοῖς πιστῶς μελῳδοῦσι·* Δόξα τῇ δυνάμει σου, Κύριε. *(Δίς).*

*Τροπάρια.*

Παρθένος καὶ μήτηρ* ὑπερφυῶς ὤφθης, πάναγνε,* ὡς Θεὸν τὸν αὐτόν τε καὶ ἄνθρωπον* Χριστὸν τεκοῦσα· ᾧ μετὰ δέους κραυγάζουσι* τῶν ἀγγέλων αἱ τάξεις·* Δόξα τῇ δυνάμει σου, Κύριε.

www.tezaurliturgic.ro



Τῷ ξένῳ σου τόκῳ* τοὺς ἐκ Θεοῦ ξενιτεύσαντας* ἐν αὐτῷ ᾠκείωσας, πανύμνητε·* μεγαλοφώνως ὅθεν σε πίστει δοξάζομεν* καὶ κραυγάζομεν· Χαῖρε,* πάντων γηγενῶν τὸ διάσωσμα.

Ὡς ὤφθης ἐν κόσμῳ* ἐκ τῆς Παρθένου ὡς ἄνθρωπος,* ἐδωρήσω τὴν νίκην τοῖς φίλοις σου·* τῷ σῷ Σταυρῷ γὰρ δαίμονας οὗτοι ἀπήλασαν* ἐν πίστει ἐκβοῶντες·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Ἐν δύο οὐσίαις* θεανδρικῶς γνωριζόμενον* τῆς Τριάδος τὸν ἕνα ἐκύησας,* Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, θελήσεις φέροντα* καταλλήλως ταῖς τούτου* φύσεσι, Παρθένε πανάμωμε.

*Τοῦ ἁγίου. Εἱρμὸς ὁ αὐτός.*

Σοφίας τῆς ἄνω,* Ματθαῖε, γεγονὼς πλήρωμα* καὶ τὸν κόσμον πληροῖς θείας γνώσεως,* αὐτοσοφίαν Χριστὸν ὡς ἔχων διδάσκαλον,* δι' οὗ οἱ φωτισθέντες* πιστοί σε πάντες μακαρίζομεν.

Ἡ δόξα Κυρίου,* τῇ καθαρᾷ διανοίᾳ σου* ἐπιλάμψασα, φῶς σε ἀνέδειξε* πάντα τὸν ζόφον τῶν δαιμόνων διώκοντα·* διὸ οἱ λυτρωθέντες* τῆς τούτων πλάνης σὲ δοξάζομεν.

Μακάριος ὤφθης* ὡς ἀληθῶς, τὸν μακάριον* θεραπεύσας καὶ μόνον δυνάστην Θεόν,* οὗ τῆς ἰσχύος κατηξιώθης καὶ χάριτος* καὶ ἐχθροῦ δυναστείας* ἔθνη ἐρρύσω εὐφημοῦντά σε.

*Θεοτοκίον.*

Ἀπέτεκες βρέφος,* ὃν ἀπειράνδρως συνέλαβες,* τὸν προόντα φθορᾶς δίχα, πάναγνε,* ἐλθόντα κόσμον φθορᾶς καὶ πλάνης λυτρώσασθαι,* ὡς Ματθαῖος κηρύττει·* ὅθεν σε, κόρη, μεγαλύνομεν.

www.tezaurliturgic.ro



*Ἄλλος.* (Τὴν ἀνεξιχνίαστον).

Τῷ ἐνυποστάτῳ σου Λόγῳ, Θεέ,* μεμαθητευμένος διέλυσε* κόσμου σοφίαν* ὁ θεόπτης μαθητής,* μεγαλοφώνως κράζων σοι·* Δόξα τῇ δυνάμει σου, Κύριε.

Τῷ μεμακαρισμένῳ ὑπὸ Χριστοῦ,* ποίαν εὐφημίαν προσείπωμεν,* σοί, θεηγόρε;* οὐκ ἰσχύει γὰρ βροτὸς* τὴν ἐπανθοῦσαν χάριν σοι* λόγῳ ἐξειπεῖν, ἀξιάγαστε.

Σοῦ τὸν ἀκηλίδωτον καὶ ἀκραιφνῆ* νοῦν τεθεαμένος ὁ ὕψιστος,* ὥσπερ λαμπάδα* εἰς λυχνίαν ὑψηλήν,* τοῖς ἐν τῷ σκότει φαίνουσαν,* πᾶσι, θεοφάντορ, προτέθεικεν.

*Θεοτοκίον.*

Τὴν τεταπεινωμένην φύσιν βροτῶν* ἡ εὐλογημένη ἀνύψωσας,* τὴν τοῦ ὑψίστου* ὡς κυήσασα ἰσχύν,* ὑπερφυῶς πανάχραντε* Μῆτερ, ὡς Ματθαῖος ἐδίδαξεν.

*Καταβασία.*

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν* τῆς ἐκ τῆς Παρθένου σαρκώσεως* σοῦ τοῦ ὑψίστου* ὁ προφήτης Ἀββακοὺμ* κατανοῶν, ἐκραύγαζε·* Δόξα τῇ δυνάμει σου, Κύριε.

*ᾨδὴ ε΄.*
*Τῆς Θεοτόκου. Ὁ εἱρμός.*

Ἵνα τί με ἀπώσω* ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς τὸ ἄδυτον,* καὶ ἐκάλυψέ με* τὸ ἀλλότριον σκότος τὸν δείλαιον;* ἀλλ' ἐπίστρεψόν με* καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου* τὰς ὁδούς μου κατεύθυνον, δέομαι. *(Δίς).*

*Τροπάρια.*

Γενεαὶ γενεῶν σε* τὴν ἀειμακάριστον νῦν μακαρίζουσιν·* οὐρανῶν δυνάμεις* ὡς τὰ κάτω τοῖς ἄνω συνάψασαν* εὐφημοῦσι, μόνη* ἐν γυναιξὶν εὐλογημένη,* τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.

www.tezaurliturgic.ro



Διαμένειν με σῷον,* μὴ περιτρεπόμενον στάσεως κρείττονος* ἀλλ' εὐθυποροῦντα* καὶ Θεῷ τὰ εὐάρεστα πράττοντα* ἐνδυνάμωσόν με,* τὸν ἀγαθὸν τεκοῦσα Λόγον,* τὸν ἡμᾶς ἀλογίας ῥυσάμενον.

Ὡραιώθης, Παρθένε,* τοῖς τῆς παρθενίας σου ἀχράντοις κάλλεσι* καὶ τῆς πρώτης Εὔας* περιέστειλας αἶσχος τὸ δύσμορφον* τὸν Χριστὸν τεκοῦσα,* περιβολὴν ἀθανασίας* χαριζόμενον τοῖς σὲ γεραίρουσιν.

Οἱ σὲ τεῖχος πλουτοῦντες* καὶ τῇ προστασίᾳ σου περιφρουρούμενοι,* τῇ σῇ θείᾳ δόξῃ* ἐγκαυχώμενοι, σὲ μακαρίζομεν·* σὺ γάρ, Παναγία,* τὴν τῶν ψυχῶν ἡμῶν πηγάζεις* εὐφροσύνην καὶ τὴν ἀγαλλίασιν.

*Τοῦ ἁγίου. Εἱρμὸς ὁ αὐτός.*

Τὴν ἀκτῖνα τῆς θείας* χάριτος δεξάμενος, Ματθαῖε, γέγονας* τῷ πυρὶ τοῦ πόθου,* ὃ βαλεῖν ὁ Χριστὸς ἦλθεν, ἔμπυρος* καὶ πῦρ ὤφθης, φλέγων* τὴν ἀκανθώδη πᾶσαν πλάνην* καὶ τὴν θέρμην παρέχων τοῦ Πνεύματος.

Θείων ἔργων καὶ λόγων* ὤφθης μηνυτὴς τοῖς ἀνθρώποις, ἀπόστολε,* μύστης χρηματίσας,* θεωρὸς τοῦ Χριστοῦ καὶ συνέστιος·* ὅθεν κατὰ χρέος* οἱ δεδεγμένοι ταῦτα πίστει* χορηγὸν ὡς τῶν θείων ὑμνοῦμέν σε.

Ἀπὸ ὕψους λαλήσας* ὑπερουρανίου Κυρίου ὡς ἄγγελος* τοὺς ποικίλους λόγους* τῶν ἐν γῇ φιλοσόφων ἐμώρανας* ἐν ἐνθέοις λόγοις* καὶ μετερρύθμισας τὴν κτίσιν* ἐξ ἀπάτης εἰς γνῶσιν σωτήριον.

*Θεοτοκίον.*

Ἴδιον θεῖον ὕμνον* ᾖσε τῶν ἀγγέλων χορός, ὡς ἐγέννησας* ἐν σαρκὶ τὸν Λόγον,* ὡς Ματθαῖος διδάσκει, πανάμωμε·*

www.tezaurliturgic.ro



Δόξα ἐν ὑψίστοις* τῷ ποιητῇ, ἐν γῇ εἰρήνη·* σὺ τὰ πρὶν διεστῶτα γὰρ ἥνωσας.

Ἄλλος. (Ἐξέστη τὰ σύμπαντα).

Τὴν χάριν δεξάμενος* τοῦ Παναγίου Πνεύματος,* θεῖον ἐνδιαίτημα ἐδείχθης,* θείως διδάξας* θεογνωσίας τὸ φῶς,* πιστευθεὶς τὰ δόγματα Χριστοῦ* γράμμασιν ἐκτίθεσθαι* ὡς αὐτόπτης θεόκριτος.

Ἡ γλῶσσά σου κάλαμος* τοῦ Παρακλήτου γέγονεν* ἐνθέως, τοῦ λύτρωσιν διδόντος* τοῖς ἐπιγνοῦσι* τὴν δεσποτείαν αὐτοῦ,* καὶ σοφῶν ἐμπνέοντος ψυχαῖς* γνῶσιν ἐπουράνιον,* ὦ Ματθαῖε πανέντιμε.

Ἀστράπτοντα θαύμασι* καὶ ἰαμάτων χάρισι,* σὲ Χριστὸς ἐξέπεμψε τῷ κόσμῳ,* τὴν τῶν δαιμόνων* καταπατοῦντα ἰσχὺν* καὶ ψυχὰς φωτίζοντα πιστῶν* πάντων τῶν ὑμνούντων σε* τῆς εἰρήνης τὸν κήρυκα.

Θεοτοκίον.

Παρθένος γεγέννηκεν* υἱὸν τὸν προαιώνιον,* φύσιν ἐνδυσάμενον ἀνθρώπων,* ὡς ἐκδιδάσκων* ὁ θεηγόρος φησί,* καὶ σώσαντα ταύτην ἐκ φθορᾶς* πάθει τῷ τοῦ σώματος,* καὶ Παρθένος διέμεινεν.

Καταβασία.

Ἐξέστη τὰ σύμπαντα* ἐν τῇ σεπτῇ εἰσόδῳ σου·* σὺ γάρ, ἀπειρόγαμε Παρθένε,* ἔνδον εἰσῆλθες* ἐν τῷ ναῷ τοῦ Θεοῦ* ὥσπερ καθαρώτατος ναός,* πᾶσι τοῖς ὑμνοῦσί σε* σωτηρίαν βραβεύουσα.

Ὠδὴ ϛ΄.

Τῆς Θεοτόκου. Ὁ εἱρμός.

Ἄβυσσος ἁμαρτιῶν* καὶ πταισμάτων καταιγίς με ταράττει* καὶ πρὸς βυθὸν βιαίως* συνωθεῖ ἀπογνώσεως·* ἀλλ’

www.tezaurliturgic.ro


αὐτὸς τὴν κραταιὰν* χεῖρά μοι ἔκτεινον, ὡς τῷ Πέτρῳ,* καὶ ἐκ βυθοῦ φθορᾶς ἀνάγαγε. *(Δίς).*

*Τροπάρια.*

Ἔχουσα τὸ συμπαθές,* ὡς τεκοῦσα τὸν φιλάνθρωπον Λόγον,* σῶσον ἡμᾶς βιαίας* καὶ δεινῆς περιστάσεως·* σὲ γὰρ μόνην οἱ πιστοί,* πάναγνε Δέσποινα, προστασίαν* ἀκαταμάχητον κεκτήμεθα.

Φρίττουσιν αἱ νοεραὶ* τῶν ἀγγέλων ἐκπληττόμεναι τάξεις,* τὸν τῷ Πατρὶ συνόντα* πρὸ αἰώνων καὶ Πνεύματι* ἐκ γαστρός σου σαρκικῶς* βρέφος τικτόμενον καθορῶσαι,* Θεογεννῆτορ πανσεβάσμιε.

Νόμοι φύσεως ἐν σοὶ* καταλύονται· ἀρρήτως γὰρ τίκτεις* τὸν πλαστουργὸν τῶν ὅλων,* Θεοτόκε πανύμνητε,* ὡς Θεόν τε καὶ βροτόν,* δύο θελήσεις δὲ κεκτημένον* καὶ ἐνεργείας, μητροπάρθενε.

Λόγος ὁ ἐκ τοῦ Πατρὸς* πρὸ αἰώνων γεννηθεὶς ἀσωμάτως* ἐκ σοῦ, ἁγνή, ἐν χρόνῳ* σαρκικῶς ἀποτίκτεται,* καὶ αὐτοῦ ἐν τῇ σκιᾷ* πάντες ζησόμεθα, ὥσπερ πάλαι* Ἱερεμίας προεφήτευσεν.

*Τοῦ ἁγίου. Εἱρμὸς ὁ αὐτός.*

Ὤκτιρεν ὁ ποιητὴς* τὸ οἰκεῖον ὡς φιλάγαθος πλάσμα* καὶ κατελθὼν μορφοῦται* τὸ φθαρὲν ἀνορθούμενος* καὶ τοῦ ἔργου συνεργόν* σε θεῖον ἔδειξεν, ὦ Ματθαῖε·* διὸ πιστοί σε μακαρίζομεν.

Ἅπαντας φῶς ὁ Χριστὸς* τοὺς οἰκείους μαθητὰς ὀνομάζει* καὶ ἅλας γῆν ἡδύνον·* σὺ οὖν, μάκαρ, λαμπρότερος* πάντων ἤστραψας, ἐκθεὶς* τὸ Εὐαγγέλιον, καὶ ἡδύνεις* τὴν Ἐκκλησίαν εὐφημοῦσάν σε.

www.tezaurliturgic.ro



Δώρημα θεῖον πιστοῖς* τοῦ Κυρίου οὓς ἀκήκοας λόγους* καὶ ἅπερ ἐθεάσω* ἐχαρίσω μυστήρια* γεγραμμένα, τὸν Θεὸν* δι᾽ ὧν γινώσκομεν· ὅθεν, μάκαρ,* ἀξιοχρέως σε γεραίρομεν.

*Θεοτοκίον.*

Ἔλαμψεν ἐπὶ τῆς γῆς* ἐκ Παρθένου ἀπειράνδρου μενούσης,* ὡς Ματθαῖος γράφει,* Ἡσαΐας τε ἔβλεψε,* μεθ᾽ ἡμῶν φῶς ὁ Θεός,* ὃν μεγαλύνομεν καὶ τὴν τοῦτον* σαρκὶ τεκοῦσαν μακαρίζομεν.

*Ἄλλος.* (Ἦλθον εἰς τὰ βάθη).

Εὐαγγελιστὴς ἀπὸ τελώνου,* ὡς ἠκολούθησέ σοι,* μετεσκεύασται ὁ θεηγόρος* τῇ παναλκεῖ, παντουργέ, δυνάμει σου* ὁ Ματθαῖος ὁ πανάριστος.

Ῥυθμίζεται τοῦ Εὐαγγελίου* τοῖς ψυχοτρόφοις λόγοις* τῶν ἐθνῶν πληθύς, ἀνυψουμένη* πρὸς ἀρετῶν ὑψηλὴν ἀκρότητα,* ὦ Ματθαῖε παμμακάριστε.

Ματθαίου ζωγρεῖται θεοπλόκοις* τοῦ μαθητοῦ δικτύοις* τὰ συστήματα τῶν πιστευόντων,* διὰ παντὸς πρὸς τὴν σὴν ἐπίγνωσιν,* εὐεργέτα, ποδηγούμενα.

*Θεοτοκίον.*

Παρθένον τεκοῦσαν ἀναγράφων,* εὐαγγελίζεταί σε,* τὸν τὰ σύμπαντα πεποιηκότα,* ἄνευ σπορᾶς καὶ φθορᾶς, πανάμωμε,* ὁ Ματθαῖος ὁ πανάριστος.

*Καταβασία.*

Τὴν θείαν ταύτην καὶ πάντιμον* τελοῦντες ἑορτὴν οἱ θεόφρονες* τῆς Θεομήτορος,* δεῦτε τὰς χεῖρας κροτήσωμεν,* τὸν ἐξ αὐτῆς τεχθέντα* Θεὸν δοξάζοντες.

*Κοντάκιον. Ἦχος δ΄.* (Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ).

www.tezaurliturgic.ro



Τοῦ τελωνίου τὸν ζυγὸν ἀπορρίψας,* δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης* καὶ ἀνεδείχθης ἔμπορος πανάριστος,* πλοῦτον κομισάμενος* τὴν ἐξ ὕψους σοφίαν·* ὅθεν ἀνεκήρυξας* ἀληθείας τὸν λόγον* καὶ τῶν ῥαθύμων ἤγειρας ψυχάς,* καθυπογράψας* τὴν ὥραν τῆς κρίσεως.

*Ὁ οἶκος.* (Ὁ μετὰ τρίτον οὐρανόν).

Ἡ τοῦ ἐχθροῦ με τυραννὶς* βιάζεται ἀπλήστως* καὶ τῆς ψυχῆς μου ὅλον* τὸν σπόρον καθαρπάζει,* Ματθαῖε φίλε τοῦ Χριστοῦ·* ἀλλ' αὐτὸς τὸν σπόρον* τῶν εὐχῶν σου δεδωκώς,* πρὸς σὴν δουλείαν κάρπωσον* καὶ δεῖξον ὑμνῳδόν σου σμικρότατον* καὶ ὑφηγητήν με* τῶν πολλῶν σου καὶ μεγάλων κατορθωμάτων* καὶ τῆς πρὸς Χριστόν σου σχέσεως·* πῶς πάντα παρευθὺς ἐγκαταλείψας,* ἠκολούθησας θερμῶς τῷ κεκληκότι,* πρῶτος γεγονὼς εὐαγγελιστὴς ἐν τῷ κόσμῳ,* καθυπογράψας* τὴν ὥραν τῆς κρίσεως.

*Συναξάριον.*

Τῇ ιϛ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου.

*Στίχοι*

Σῴζεις Ἰησοῦ καὶ τελώνας· σοὶ χάρις.
Οὕτω βοᾷ Ματθαῖος ἐκ πυρὸς μέσου.

Ἀκάματον Ματθαῖον πῦρ δεκάτῃ κτάνεν ἕκτῃ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ´.*
*Τῆς Θεοτόκου. Ὁ εἱρμός.*

Παῖδες Ἑβραίων ἐν καμίνῳ* κατεπάτησαν τὴν φλόγα θαρσαλέως* καὶ εἰς δρόσον τὸ πῦρ* μετέβαλον βοῶντες·* Εὐλογητὸς εἶ, Κύριε* ὁ Θεός, εἰς τοὺς αἰῶνας. *(Δίς).*

www.tezaurliturgic.ro



*Τροπάρια.*

Σοῦ τὴν νηδὺν μὴ καταφλέξαν* τῆς θεότητος τὸ πῦρ, παρθενομῆτορ,* σωματοῦται ἐκ σοῦ* τὰ πέρατα φωτίζον* ταῖς θεϊκαῖς λαμπρότησι·* διὰ τοῦτό σε ὑμνοῦμεν.

Μήτραν παρθένου ὑπεισδῦναι* ὡς εὐδόκησας, ἀνθρώπους θέλων σῶσαι,* τοὺς προφήτας σαφῶς* ἐδίδαξας τὸ θαῦμα,* Εὐλογητὸς εἶ, κράζοντας,* ὁ Θεός, εἰς τοὺς αἰῶνας.

Νόμους τῆς φύσεως, Παρθένε,* τῇ κυήσει σου καινίζεις παραδόξως* καὶ φθαρέντας ἡμᾶς* κακίστῃ παραβάσει* ἀναχωνεύεις· ὅθεν σε* κατὰ χρέος εὐφημοῦμεν.

Χαῖρε, Μαρία Θεοτόκε,* ὁ ἀσώματος ἐβόα σοι, Παρθένε·* σὺν αὐτῷ δὲ πιστοὶ* βοῶμέν σου τῷ τόκῳ·* Εὐλογημένος, πάναγνε,* ὁ καρπὸς τῆς σῆς κοιλίας.

*Τοῦ ἁγίου. Εἱρμὸς ὁ αὐτός.*

Ἴδιον νέας διαθήκης* νόμον ἔγραψε Χριστὸς ἐν σῇ καρδίᾳ,* ὃν ἐγγράφεις αὐτὸς* καρδίαις τῶν βοώντων·* Ὁ τῶν πατέρων Κύριος* καὶ Θεός, εὐλογητὸς εἶ.

Νέμοις εἰρήνην ἡμῖν πᾶσιν,* εἰρήνης υἱός, Ματθαῖε, χρηματίσας,* τὴν εἰρήνην Χριστὸν* τὸν ἐραστὸν ποθήσας* καὶ εὐαγγελισάμενος,* ὃν ὑμνοῦμεν εἰς αἰῶνας.

Χάριτος θείας ὡς μετέσχες,* ἐπεθύμησας, Ματθαῖε, μεταδοῦναι,* τῆς ἀγάπης δεικνὺς* θεοειδῶς τὸν ὅρον* μέχρι θανάτου· ὅθεν σε* οἱ πιστοὶ ἀνευφημοῦμεν.

*Θεοτοκίον.*

Ῥήτωρ τοῦ τόκου σου, Παρθένε,* ἀναδέδεικται μέγιστος ὁ Ματθαῖος,* ἑρμηνεύων ἡμῖν* αὐτὸ καὶ καταγγέλλων·* ᾧ εὐσεβῶς ἑπόμενοι,* Θεοτόκον σε φρονοῦμεν.

www.tezaurliturgic.ro



*Ἄλλος.* (Οὐκ ἐλάτρευσαν).

Ἐχρημάτισας* τοῦ πρώτου ἀπαυγάσματος* θεῖον ἐκτύπωμα,* ὡς μαθητὴς ταῖς αὐτοῦ* ἀκτῖσι πυρσούμενος,* ᾧ ψάλλων ἔλεγες·* Ὑπερύμνητε,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεός, εὐλογητὸς εἶ.

Ὡς διάκονον* τοῦ λόγου, παμμακάριστε,* θείοις σκηνώμασιν,* ὅπου Χριστὸς κατοικεῖ,* ἐκεῖ σε κατῴκισεν,* ὡς σοὶ ὑπέσχετο,* ὁ ὑπέρθεος,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεὸς μόνος τῶν ὅλων.

Τὰ νοσήματα,* Ματθαῖε, φυγαδεύονται* καὶ δραπετεύουσιν* ἡ τῶν δαιμόνων πληθὺς* τοῖς ἐν σοὶ χαρίσμασι* τοῦ θείου Πνεύματος,* ἐν οἷς ἔψαλλες·* Ὁ τῶν πατέρων Κύριος* καὶ Θεός, εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Τὴν πανύμνητον* Παρθένον ἐξιστόρησας* τοῖς θείοις λόγοις σου,* τὸν ποιητὴν τοῦ παντὸς* τεκοῦσαν, ἀπόστολε,* ᾧ πάντες ψάλλομεν·* Ὑπερύμνητε,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεός, εὐλογητὸς εἶ.

*Καταβασία.*

Οὐκ ἐλάτρευσαν* τῇ κτίσει οἱ θεόφρονες* παρὰ τὸν κτίσαντα·* ἀλλὰ πυρὸς ἀπειλὴν* ἀνδρείως πατήσαντες,* χαίροντες ἔψαλλον·* Ὑπερύμνητε,* ὁ τῶν πατέρων Κύριος* καὶ Θεός, εὐλογητὸς εἶ.

*ᾨδὴ η΄.*

*Τῆς Θεοτόκου. Ὁ εἱρμός.*

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα* καὶ ἐν βάτῳ πυρὶ τὸ τῆς Παρθένου* τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα* Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας. *(Δίς).*

www.tezaurliturgic.ro



*Τροπάρια.*

Μετὰ τόκον παρθένος διαμένεις* ὡς πρὸ τόκου, Παρθένε Θεοτόκε,* τὸν πλαστουργὸν τῆς κτίσεως γεννήσασα·* ὅθεν σε ὑμνοῦμεν* καὶ δοξολογοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

Ὧ ἐν πόλῳ παρειστήκεισαν τρόμῳ* μυριάδες ἀγγέλων ἀρχαγγέλων,* ἐν ταῖς ἀγκάλαις φέρειν κατηξίωσαι·* τούτῳ, Θεοτόκε,* πρέσβευε σωθῆναι* τοὺς σὲ δοξολογοῦντας.

Ἱσταμένων βεβαίωσις ὑπάρχεις* καὶ πεσόντων ἀνόρθωσις, Παρθένε·* διὸ καταπτωθέντα με ἀνάστησον,* ἵνα σε δοξάζω* τὴν κεχαριτωμένην* εἰς πάντας τοὺς αἰῶνας.

Χαῖρε, θρόνε πυρίμορφε Κυρίου·* χαῖρε, νύμφη ἀνύμφευτε Παρθένε·* χαῖρε, νεφέλη ἥλιον ἐκλάμψασα* τῆς δικαιοσύνης·* ὃν ὑπερυψοῦμεν* εἰς πάντας τοὺς αἰῶνας.

*Τοῦ ἁγίου. Εἱρμὸς ὁ αὐτός.*

Ἐπεγνώσθης Θεῷ καὶ προσεκλήθης* καὶ πρὸς γνῶσιν αὐτοῦ τὰ ἔθνη πάντα* προσεκαλέσω· ὅθεν εὐφημοῦμέν σε,* Κύριον ὑμνοῦντες* καὶ ὑπερυψοῦντες* εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ποιήσας τὰ πάντα Θεὸς Λόγος* θεολόγον καὶ σὲ ἀπὸ τελώνου* δείξας τῷ κόσμῳ σωτῆρα ἀπέστειλε* καὶ ἐξ ἀλογίας* διέσωσας ἔθνη* αὐτὸν ὑμνολογοῦντα.

Σωτηρίαν ἐβράβευσας τῷ κόσμῳ* διὰ λόγων καὶ ἔργων θαυμασίων,* πᾶσι κηρύξας Θεοῦ τὸ σωτήριον·* ὅθεν ὡς σωτῆρα,* μύστα τοῦ Σωτῆρος,* τιμῶμέν σε, Ματθαῖε.

Σὺ τὸ θεῖον Εὐαγγέλιον γράψας,* ἐν τῷ τέλει τὴν γνῶσιν τῆς Τριάδος,* Πατρός, Υἱοῦ καὶ Πνεύματος παρέδωκας,* ἐν ᾗ βαπτισθέντες,* ἕνα ἐν Τριάδι* Θεὸν δοξολογοῦμεν.

www.tezaurliturgic.ro



*Θεοτοκίον.*

Ὑπεδέξω τὴν χαρὰν πρώτη, κόρη,* κατιδοῦσα σὸν υἱὸν ἀναστάντα* ἐκ τῶν νεκρῶν, Ματθαῖος ὡς ἐκήρυξεν,* ἧς δεῖξον μετόχους* τοὺς σὲ Θεοτόκον* ὑμνοῦντας εἰς αἰῶνας.

*Ἄλλος.* (Παῖδας εὐαγεῖς).

Νεύσεσι πρὸς σὲ ταῖς ἀνενδότοις* Ματθαῖος ὁ ἱερώτατος θεούμενος,* θέσει χρηματίσας τε,* φύσει ὅπερ πέφυκας,* τὴν οἰκουμένην, Δέσποτα,* εἵλκυσε ψάλλειν σοι·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ὥσπερ ἀστραπὴν τῇ οἰκουμένῃ* ὁ Λόγος τὸν θεολόγον ἐξαπέστειλε,* ζόφον μὲν διώκοντα,* ἔθνη δὲ φωτίζοντα* θεολογίας δόγμασιν·* ὅθεν καὶ ἔψαλλε·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Λόγῳ καθαρῷ καὶ διανοίᾳ* Θεῷ σοι προσομιλῆσαι ἐξεγένετο·* ὕλην γὰρ ὡς ἔτεμες,* τούτῳ προσεπέλασας* καὶ συνεκράθης ἔνδοξε·* ὅθεν καὶ ἔψαλλες·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἐπ᾽ εὐεργεσίᾳ τῶν ἀνθρώπων* ὁ Λόγος σωματωθῆναι κατηξίωσε·* πύλην παρθενίας γὰρ* ὥδευσεν ὁ Κύριος* καὶ Θεοτόκον ἔδειξε·* διὸ κραυγάζομεν·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

*Καταβασία.*

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ* ὁ τόκος τῆς Θεοτόκου διεσώσατο* τότε μὲν τυπούμενος·* νῦν δὲ ἐνεργούμενος* τὴν οἰκουμένην ἅπασαν* ἀγείρει ψάλλουσαν·* Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



*ᾨδὴ θ΄.*

*Τῆς Θεοτόκου. Ὁ εἱρμός.*

Ὅρους παρῆλθες τῆς φύσεως* τὸν δημιουργὸν συλλαβοῦσα καὶ Κύριον* καὶ πύλη σωτηρίας τῷ κόσμῳ γέγονας·* διό σε, Θεοτόκε,* ἀκαταπαύστως μεγαλύνομεν. *(Δίς).*

*Τροπάρια.*

Φωναῖς πατέρων πειθόμενοι* δύο ἐν οὐσίαις, ἁγνή, καὶ θελήσεσι* τὸν ἕνα τῆς Τριάδος ἐκ σοῦ τικτόμενον* πιστῶς δοξολογοῦμεν* καὶ σέ, Παρθένε, μεγαλύνομεν. *(Δίς).*

Λόγον ἐδέξω τὸν ἄσαρκον,* φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον,* καὶ τοῦτον σαρκωθέντα, Παρθένε, τέτοκας·* διό σε, Θεοτόκε,* ἀκαταπαύστως μεγαλύνομεν.

Φάνηθι, ἄχραντε Δέσποινα,* θεῖος συνεργὸς τοῖς ἀχρείοις οἰκέταις σου* καιρῷ τῆς ἐγκρατείας, τὰς προσευχὰς ἡμῶν* προσάγουσα Κυρίῳ* τῷ τῶν αἰώνων βασιλεύοντι.

*Τοῦ ἁγίου. Εἱρμὸς ὁ αὐτός.*

Ματθαῖε χαίροις ἀπόστολε,* εὐαγγελιστὰ τοῦ Χριστοῦ, φίλε γνήσιε,* αὐτόπτα, ὑπηρέτα, κήρυξ καὶ σύμμορφε* τῶν τούτου παθημάτων* καὶ κληρονόμε τῆς ἐλλάμψεως.

Ἔρχεσθαι μέλλει ὁ Κύριος* καὶ καθίσει κρῖναι τὸν κόσμον, ὡς ἔφησας,* καὶ συγκαθίσεις τότε κριτής· καὶ ποίησον* ἐν δεξιᾷ σταθῆναι* τοὺς δεξαμένους σου τὸ κήρυγμα.

Ὢ τοῦ σεπτοῦ σου κηρύγματος,* ὃ παραλαβοῦσα ἐγγράφως στηρίζεται* Χριστοῦ ἡ Ἐκκλησία σὲ μεγαλύνουσα,* ἣν ἄθραυστον εὐχαῖς σου* ἐν τούτῳ πάντοτε συντήρησον.

*Θεοτοκίον.*

Νῦν ἐπαγάλλονται, Δέσποινα,* τῇ μνήμῃ τοῦ σοῦ θεοκήρυκος ἄγγελοι* σὺν ἀποστόλοις μέσον ἔχοντες λάμποντα·* ὃν καὶ ἡμεῖς τιμῶντες,* σὲ ἐξαιρέτως μεγαλύνομεν.

www.tezaurliturgic.ro



Ἄλλος. (Ἅπας γηγενής).

Κάλλους νοητοῦ* ἐδέξω διάδημα* θεῖον, ἀπόστολε·* καὶ τῆς βασιλείας δὲ* εὐπρεπεστάτῳ* στέφει κεκόσμησαι* χειρὶ τοῦ παντοκράτορος,* καὶ διαλάμπεις, σοφέ,* σὺν ἀγγέλοις* θρόνῳ παριστάμενος* τοῦ Δεσπότου Χριστοῦ, παμμακάριστε.

Ξύλου τῆς ζωῆς* ἀξίως τετύχηκας,* κήρυξ τοῦ ζῶντος Θεοῦ,* εὐαγγελισάμενος* ζωῆς τῷ κόσμῳ* θείαν ἐπίσκεψιν·* τῷ γὰρ φυτῷ τῆς γνώσεως* οὐ διεφθάρης τὸν νοῦν,* διαμείνας* ἄσειστος, ἀκράδαντος* Ἐκκλησίας κρηπίς, παμμακάριστε.

Νύμφην τοῦ Χριστοῦ* ἐνθέως ἐκόσμησας* Εὐαγγελίῳ σου* ὥσπερ διαδήματι,* τὴν Ἐκκλησίαν,* θεομακάριστε·* καὶ νῦν τὴν θείαν μνήμην σου* πανηγυρίζει φαιδρῶς·* ἣν ῥυσθῆναι* πάσης περιστάσεως* καὶ κινδύνων δεινῶν καθικέτευε.

Θεοτοκίον.

Κόλπων οὐκ ἐκστὰς* ἀνάρχου Γεννήτορος* Λόγος ὁ ἄναρχος,* ὡς εὐαγγελίζεται* Ματθαῖος γράφων,* Θεὸς σεσάρκωται* ἐκ σοῦ, ἁγνὴ πανύμνητε,* τὴν τῶν ἀνθρώπων μορφὴν* ὁλοτρόπως* πᾶσαν ἐνδυσάμενος* καὶ τὰ ταύτης λαβὼν ἰδιώματα.

Καταβασία.

Ἅπας γηγενὴς* σκιρτάτω τῷ πνεύματι* λαμπαδουχούμενος·* πανηγυριζέτω δὲ* ἀΰλων νόων* φύσις, γεραίρουσα* τὰ ἱερὰ εἰσόδια* τῆς Θεομήτορος,* καὶ βοάτω·* Χαίροις παμμακάριστε,* Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ἐξαποστειλάριον. (Ἐν πνεύματι τῷ ἱερῷ).

Τοῦ τελωνίου τὸν ζυγὸν* ἀπορρίψας ἐμφρόνως,* Χριστῷ κατηκολούθησας,* ὦ Ματθαῖε θεόφρον·* τοῖς ἴχνεσι δὲ τοῖς αὐτοῦ* θαυμαστῶς ἑπόμενος,* ἐν μετοχῇ ἐγεγόνεις* τῆς

www.tezaurliturgic.ro



αὐτοῦ βασιλείας* καὶ τῆς δόξης κοινωνὸς* καὶ μύστης τῶν ἀπορρήτων.

*Ἕτερον. Συμεὼν Θεσσαλονίκης.* (Τοῖς μαθηταῖς συνέλθωμεν).

Ἀπὸ τελώνου γέγονας* θεολόγος, θεόπτης,* μύστης, αὐτόπτης, ἔνδοξε,* ὑπηρέτης καὶ φίλος,* ἀπόστολός τε καὶ κήρυξ,* εὐαγγελιστὴς θεῖος* Χριστοῦ, Ματθαῖε πάνσοφε,* καὶ δυνάμει τῇ τούτου* καθοπλισθεὶς* τῶν εἰδώλων πλάνην ἔθραυσας πᾶσαν* καὶ ἔθνη κατεφώτισας* ἐν αὐτῷ σε τιμῶντα.

*Θεοτοκίον. Τοῦ αὐτοῦ. Ὅμοιον.*

Ἐξ Ἀβραάμ, πανάμωμε,* καὶ Δαβὶδ οὖσα, κόρη,* ὡς ὁ Ματθαῖος ἔγραψε* γενεάν σου τὴν θείαν,* ἐκ Πνεύματος τοῦ Ἁγίου* τὸν Θεὸν συλλαμβάνεις,* παρθένος, κόρη, μένουσα,* Βηθλεὲμ δὲ σπηλαίῳ* ἀπογεννᾷς,* ὃν ἄγγελοι ὕμνησαν σὺν ποιμέσι* καὶ μάγοι δώροις ἔστεψαν* καὶ ἡμεῖς προσκυνοῦμεν.

*Εἰς τοὺς αἴνους, στιχηρὰ προσόμοια.*
*Ποίημα Συμεὼν ἀρχιεπισκόπου Θεσσαλονίκης.*

*Ἦχος πλ. δ΄.* (Τί ὑμᾶς καλέσωμεν).

Τί σε, ὦ Ματθαῖε, καλέσωμεν;* τοῦ Χριστοῦ τῆς πρὸς ἡμᾶς* οἰκονομίας μηνυτήν;* συγγραφέα τοῦ σεπτοῦ* Εὐαγγελίου ἀπλανῆ;* δοχεῖον* καθαρὸν τῆς θείας χάριτος;* δυνάμεις* ἐνεργοῦντα, πάθη παύοντα;* καὶ φῶς ἐκ σκότους ῥυόμενον* καὶ Θεοῦ γνῶσιν αὐγάζοντα;* ᾧ πρέσβευε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σε κατ' ἀξίαν τιμήσωμεν* οἱ τυχόντες διὰ σοῦ* τῶν ἀγαθῶν τῶν ὑπὲρ νοῦν,* ἐπιγνώσεως Θεοῦ* καὶ φωτισμοῦ πνευματικοῦ,* ἐγγράφως* τοῦ Κυρίου κομισάμενοι* τοὺς λόγους* καὶ τὰ ἔργα τὰ σωτήρια,* τὰ θεῖα πάθη, τὴν ἔγερσιν*

www.tezaurliturgic.ro



καὶ τὴν δευτέραν ἐπέλευσιν;* ἢ πρόστηθι* τῶν ἐν πίστει εὐφημούντων σε.

Τί σε οἱ πιστοὶ ὀνομάσωμεν;* ἀπαρχὴν τῶν εὐσεβῶν* ἢ εὐσεβείας στηριγμόν;* θεωρὸν τῶν ὑπὲρ νοῦν* ἢ ὑπηρέτην τοῦ Χριστοῦ;* καὶ τούτου* μυστολέκτην τε καὶ κήρυκα* καὶ φίλον,* μιμητήν τε καὶ ἀπόστολον;* πολλά, Ματθαῖε, δωρήματα* σοὶ ὁ διδάσκαλος ἔνειμεν,* ᾧ πρέσβευε* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Χαίροις, ὦ Ματθαῖε, γενόμενος* ἐκ τελώνου μαθητὴς* καὶ θεολόγος τοῦ Χριστοῦ,* μετανοίας ἀφορμὴ* τοῖς ἐπιστρέφουσι πιστῶς,* ὁ τούτου* μιμητὴς τοῦ πάθους σύμμορφος* καὶ θείας* βασιλείας τε συμμέτοχος·* ἧς καὶ ἡμᾶς καταξίωσον* τοὺς σέβοντάς σου τὸ κήρυγμα* καὶ μέγιστον* ὡς ἀπόστολον τιμῶντάς σε.

Δόξα. *Ἦχος πλ. δ΄.*

Κροτήσωμεν ἐν ᾄσμασι* σήμερον, πιστοί,* ἐπὶ τῇ μνήμῃ τοῦ σεπτοῦ ἀποστόλου* καὶ εὐαγγελιστοῦ Ματθαίου·* οὗτος γὰρ ῥίψας τὸν ζυγὸν* καὶ τὸν χρυσὸν τοῦ τελωνίου* ἠκολούθησε Χριστῷ* καὶ κήρυξ τοῦ Εὐαγγελίου* θεῖος ἐχρημάτισεν·* ὅθεν ἐξῆλθε προφητικῶς ὁ φθόγγος αὐτοῦ* εἰς τὴν οἰκουμένην* καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων σου* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Δοξολογία μεγάλη.*

www.tezaurliturgic.ro

## ΕΝ ΤΗ͂Ι ΛΕΙΤΟΥΡΓΙΑ͂Ι

*Τὰ τυπικὰ καὶ εἰς τοὺς μακαρισμοὺς ἡ γ΄ ᾠδὴ τοῦ α΄ κανόνος τοῦ ἁγίου καὶ ἡ ς΄ τοῦ β΄, ἢ τὰ εἰς ἀποστόλους ἀντίφωνα (σελ. 41) μετὰ τοῦ ἀπολυτικίου* Ἀπόστολε ἅγιε καὶ εὐαγγελιστὰ Ματθαῖε.

*Προκείμενον. Ἦχος πλ. δ΄.*

Εἰς πᾶσαν τὴν γῆν *(σελ. 42-43).*

### Ο ΑΠΟΣΤΟΛΟΣ

Πρὸς Ρωμαίους ἐπιστολῆς *(ι΄ 11 - ια΄ 2).*

Ἀδελφοί, λέγει ἡ Γραφή· Πᾶς ὁ πιστεύων ἐπὶ τῷ Θεῷ ...

*(Ζήτει τῇ Τρίτῃ τῆς δ΄ ἑβδομάδος).*

Ἀλληλούια. *Ἦχος α΄.*

Ἐξομολογήσονται οἱ οὐρανοὶ *(σελ. 43).*

### ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον *(θ΄ 9-13).*

Τῷ καιρῷ ἐκείνῳ παράγων ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον καθήμεον ἐπὶ τὸ τελώνιον ...

*(Ζήτει τῷ Σαββάτῳ τῆς ε΄ ἑβδομάδος Ματθαίου).*

*Κοινωνικόν.*

Εἰς πᾶσαν τὴν γῆν *(σελ. 43-44).*

www.tezaurliturgic.ro

# ΠΑΡΑΡΤΗΜΑ

*Ἐκλογὴ πολυελέου δι᾿ ἑορτὰς ἀποστόλων.*

*Ἦχος πλ. δ΄.*

Τὸ στερέωμα*. Ἀλληλούια.* Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ,* ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.* Ἀλληλούια.

Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε,* καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.* Ἀλληλούια.

Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων* μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.* Ἀλληλούια.

Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ* καὶ ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ.* Ἀλληλούια.

Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ,* ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ.* Ἀλληλούια.

Ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν,* ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.* Ἀλληλούια.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν,* ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.* Ἀλληλούια.

Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου·* καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.* Ἀλληλούια.

Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν χειλέων αὐτῶν* καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν,* καὶ πόνους λαῶν κατεκληρονόμησαν.* Ἀλληλούια.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν* καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.* Ἀλληλούια.

Μέγας ὁ Κύριος ἡμῶν* καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ,* καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός.* Ἀλληλούια.

Αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ·* εὐλογητὸς ὁ Θεός. Ἀλληλούια.

www.tezaurliturgic.ro



Δόξα. *Τριαδικόν.*

Ἄναρχε Τριάς,* ἀμέριστε οὐσία,* σύνθρονε Μονὰς* ὁμότιμε τῇ δόξῃ,* ἡ ὑπεράρχιος φύσις καὶ βασιλεία,* σῷζε τοὺς πίστει ἀνυμνοῦντάς σε.

Καὶ νῦν. *Θεοτοκίον.*

Χαῖρε, τοῦ Θεοῦ* εὐρύχωρον χωρίον·* χαῖρε, κιβωτὲ* τῆς νέας διαθήκης·* χαῖρε, ἡ ἔγχρυσος στάμνος, ἐξ ἧς τὸ μάννα* πᾶσιν ἐδόθη τὸ οὐράνιον.

*Καθίσματα εἰς μνήμας ἀποστόλων.*

*Ἦχος α΄.* (Τὸν τάφον σου Σωτήρ).

Τοῖς πάθεσι Χριστοῦ* κοινωνὸς ἀνεδείχθης,* ἀπόστολε σοφὲ* καὶ αὐτόπτα τοῦ Λόγου·* πιὼν γὰρ τὸ ποτήριον* ἐτελέσθης δι' αἵματος.* Ἀλλ' ὡς σύνθρονος* καὶ κληρονόμος ὑπάρχων* ἐκδυσώπησον* ὑπὲρ εἰρήνης τοῦ κόσμου* αὐτὸν ὡς φιλάνθρωπον.

Δόξα, καὶ νῦν. *Θεοτοκίον. Ὅμοιον.*

Μητέρα σε Θεοῦ* ἐπιστάμεθα πάντες,* Παρθένον ἀληθῶς* καὶ μετὰ τόκον φανεῖσαν,* οἱ πόθῳ καταφεύγοντες* πρὸς τὴν σὴν ἀγαθότητα·* σὲ γὰρ ἔχομεν* ἁμαρτωλοὶ προστασίαν·* σὲ κεκτήμεθα* ἐν πειρασμοῖς σωτηρίαν,* τὴν μόνην πανάμωμον.

*Ἕτερον. Ἦχος δ΄.* (Ταχὺ προκατάλαβε).

Τὴν μνήμην τιμήσωμεν* τοῦ ἀποστόλου, πιστοί·* ἐπέστη γὰρ σήμερον* πᾶσι τοῖς πέρασι* φωτίζουσα ἅπαντας·* οὗτος γὰρ τοῦ Κυρίου* ἀληθὴς ὑποφήτης* ἐν τῷ Εὐαγγελίῳ* ἀναδέδεικται μάρτυς·* διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν* βρύει ἰάματα.

www.tezaurliturgic.ro



Δόξα, καὶ νῦν. *Θεοτοκίον. Ὅμοιον.*

Ταχὺ δέξαι, Δέσποινα,* τὰς ἱκεσίας ἡμῶν* καὶ ταύτας προσάγαγε* τῷ σῷ υἱῷ καὶ Θεῷ,* κυρία πανάχραντε·* λῦσον τὰς περιστάσεις* τῶν εἰς σὲ προστρεχόντων·* σκέδασον τὰς ἐνέδρας* καὶ τὰ θράση, Παρθένε,* τῶν νῦν ἐφοπλιζομένων* κατὰ τῶν δούλων σου.

*Ἕτερον. Ἦχος πλ. δ΄.* (Τὴν Σοφίαν καὶ Λόγον).

Τῶν εἰδώλων τὰ θράση καταβαλών,* τοῦ Σωτῆρος τὰ πάθη ἐπιποθῶν,* (...) μακάριε,* ἀνεδείχθης ἀπόστολος,* οὐρανόθεν πᾶσι* πηγάζων τὰ θαύματα* καὶ ἐθνῶν ἐγένου,* παμμάκαρ, διδάσκαλος·* ὅθεν σου τὴν μνήμην* ἐπαξίως τιμῶμεν,* ἐν ὕμνοις δοξάζοντες* καὶ πιστῶς μεγαλύνοντες,* θεηγόρε πανόλβιε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. *Θεοτοκίον. Ὅμοιον.*

Χαριστήριον αἶνον χρεωστικῶς,* ὡς ἡ χήρα ἐκείνη δύο λεπτά,* προσφέρω σοι, Δέσποινα* ὑπὲρ πασῶν τῶν χαρίτων σου·* σὺ γὰρ ὤφθης σκέπη* ὁμοῦ καὶ βοήθεια,* πειρασμῶν καὶ θλίψεων* ἀεί με ἐξαίρουσα·* ὅθεν ὡς ἐκ μέσου* φλογιζούσης καμίνου* ῥυσθεὶς τῶν θλιβόντων με* ἐκ καρδίας κραυγάζω σοι·* Θεοτόκε, βοήθει μοι* πρεσβεύουσα τῷ σῷ υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι·* σὲ γὰρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλός σου.